Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: upu-ai

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 22 To Poseidon

*Ὕμνος εἰς Ποσειδῶνα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Ἀμφὶ Ποσειδάωνα θεὸν μέγαν ἄρχομ’ ἀείδειν
γαίης κινητῆρα καὶ ἀτρυγέτοιο θαλάσσης
πόντιον, ὅς θ’ Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς.
διχθά τοι Ἐννοσίγαιε θεοὶ τιμὴν ἐδάσαντο
ἵππων τε δμητῆρ’ ἔμεναι σωτῆρά τε νηῶν.
Χαῖρε Ποσείδαον γαιήοχε κυανοχαῖτα,
καὶ μάκαρ εὐμενὲς ἦτορ ἔχων πλώουσιν ἄρηγε.